διορίσαι ῥᾴδιον, ποίας δεῖ καλεῖν ἀρχάς· πολλῶν γὰρ ἐπιστατῶν ἡ πολιτικὴ κοινωνία δεῖται. διόπερ πάντας, οὔτε τοὺς αἱρετούς, οὔτε τοὺς κληρωτούς, ἄρχοντας θετέον· οἷον τοὺς ἱερεῖς πρῶτον· τοῦτο γὰρ ἕτερόν τι παρὰ τὰς πολιτικὰς ἀρχὰς θετέον. ἔτι δὲ καὶ χορηγοὶ καὶ κήρυκες· αἱροῦνται δὲ καὶ πρεσβευταί. εἰσὶ δὲ αἱ μὲν πολιτικαὶ τῶν ἐπιμελειῶν, ἢ πάντων τῶν πολιτῶν πρός τινα πρᾶξιν· οἷον, στρατηγὸς στρατευομένων· ἢ κατὰ μέρος· οἷον ὁ γυναικονόμος, ἢ παιδονόμος· αἱ δ' οἰκονομικαί· πολλάκις γὰρ αἱροῦνται σιτομέτρας· αἱ δ' ὑπηρετικαί, πρὸς ἅς, ἂν εὐπορῶσι, τάττουσι δούλους. μάλιστα δ', ὡς ἁπλῶς εἰπεῖν, ἀρχὰς λεκτέον ταύτας, ὅσαις ἀποδέδοται βουλεύσασθαί τε περὶ τινῶν, καὶ κρῖναι, καὶ ἐπιτάξαι, καὶ μάλιστα τοῦτο. τὸ γὰρ ἐπιτάττειν, ἀρχικώτερόν ἐστιν. ἀλλὰ ταῦτα διαφέρει πρὸς μὲν τὰς χρήσεις οὐδέν, ὡς εἰπεῖν. οὐ γάρ πω κρίσις γεγένηται ἀμφισβητούντων περὶ τοῦ ὀνόματος. ἔχει δέ τιν' ἄλλην διανοητικὴν πραγματείαν. ποῖαι δ' ἀρχαί, καὶ πόσαι ἀναγκαῖαι, εἰ ἔσται πόλις· καὶ ποῖαι ἀναγκαῖαι μὲν οὔ, χρήσιμοι δὲ πρὸς σπουδαίαν πολιτείαν, μᾶλλον ἄν τις ἀπορήσειε, πρὸς ἅπασάν τε δὴ πολιτείαν, καὶ δὴ καὶ τὰς μικρὰς πόλεις. ἐν μὲν γὰρ δὴ ταῖς μεγάλαις ἐνδέχεταί τε καὶ δεῖ μίαν τετάχθαι πρὸς ἓν ἔργον· πολλούς τε γὰρ εἰς τὰ ἀρχεῖα ἐνδέχεται βαδίζειν, διὰ τὸ πολλοὺς εἶναι τοὺς πολίτας· ὥστε τὰς μὲν διαλείπειν πολὺν χρόνον, τὰς δ' ἅπαξ ἄρχειν. καὶ βέλτιον ἕκαστον ἔργον τυγχάνει τῆς ἐπιμελείας μονοπραγματούσης, ἢ πολυπραγματούσης. ἐν δὲ ταῖς μικραῖς, ἀνάγκη συνάγειν εἰς ὀλίγους πολλὰς ἀρχάς. διὰ γὰρ ὀλιγανθρωπίαν, οὐ ῥᾴδιόν ἐστι πολλοὺς ἐν ταῖς ἀρχαῖς εἶναι· τίνες γὰρ οἱ τούτοις ἔσονται διαδεξόμενοι πάλιν; δέονται δ' ἐνίοτε τῶν αὐτῶν ἀρχῶν καὶ νόμων αἱ μικραὶ ταῖς μεγάλαις· πλὴν αἱ μὲν, δέονται πολλάκις τῶν αὐτῶν· ταῖς δ' ἐν πολλῷ χρόνῳ τοῦτο συμβαίνει. διόπερ οὐδὲν κωλύει πολλὰς ἐπιμελείας ἅμα προστάττειν· οὐ γὰρ ἐμποδιοῦσιν ἀλλήλαις· καὶ πρὸς τὴν ὀλιγανθρωπίαν ἀναγκαῖον τὰ ἀρχεῖα οἷον ὀβελισκολύχνια ποιεῖν. ἐὰν οὖν ἔχωμεν λέγειν πόσας ἀναγκαῖον ὑπάρχειν πάσῃ πόλει, καὶ πόσας οὐκ ἀναγκαῖον μέν, δεῖ δ' ὑπάρχειν, ῥᾷον ἄν τις εἰδὼς ταῦτα συνάγοι, ποίας ἁρμόττει συνάγειν ἀρχάς, εἰς μίαν

A quidem facilè determinare, quales magistratus sunt nuncupandi: indiget enim ciuilis societas multis prȩsidentibus. Quapropter non omnes, qui vel eliguntur vel assumuntur sorte, sunt magistratus existimandi: vtpote sacerdotes. hoc enim aliud quiddam ponendum est à ciuilibus magistratibus. Prӕterea qui pompas ducunt, & prӕcones, & legati qui eliguntur. huiusmodi enim curӕ ciuiles aut omni- B um ciuium sunt ad vnam actionem, puta dux eorum qui militant: aut secundum partem, vt mulierum puerorúmque curatores. aliȩ dispensatiuȩ: sӕpe enim eliguntur quidam ad distribuendam annonam. aliӕ ministratiuӕ, ad quas si opulenti eligantur, substituunt seruos. Maximè verò, vt simpliciter dicamus, illi sunt magistratus appellandi, quibus datum est deliberare de quibusdam, & statuere, & C maximè hoc extremum. nam iubere imperiosius est. Verùm ista quantum ad vsum nihil differunt, vt ita dixerim. nondum enim determinata est huiusmodi de nomine controuersia. Habet autem quandam aliam intellectiuam considerationem. Quales autem magistratus, & quot necessarij sunt ciuitati: & quales necessarij quidem, inutiles vero ad bonam D reipublicӕ gubernationem magis vtique quispiam dubitabit: & ad omnem rempublicam, & prӕsertim ad paruas ciuitates. Nam in magnis quidē licet, & debent singuli magistratus ad singula opera deputari. sufficit enim multitudo ciuium ad magistratus gerendos. quare alios cum intermissione magna temporis, alios semel duntaxat gerunt: meliúsque singula curantur, quàm si in multis cura nostra distrahatur. Sed in paruis ciuitatibus ne- E cesse est in paucos magistratus plures conferre. Nam cùm sit paucitas hominum, non facile est multos in magistratibus esse. qui enim postea forent successores horum? indigent quandoque magistratibus eisdē & legibus, paruӕ magnӕque ciuitates: nisi quod hӕ quidem sӕpe indigent eisdem, illis vero multo tempore intermisso id accidit. quapropter nihil prohibet multas simul curas illis deman- F dare: non enim se impediunt. & propter hominum paucitatem necessarij sunt magistratus quidam quasi luminaria obelicis imposita. Si ergo dicere possumus, quot necessarij sunt omni ciuitati. & quot nō necessarij quidé, sed opportuni, facile quis sciens ista, coniungat, quales coniūgere congruat in vnum magistratum.